www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΟΝΗ ΠΕΝΤΕΛΗΣ

# ΤΙΜΟΘΕΟΥ

*Τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν Ἀρχιεπισκόπου*

*ΕΥΡΙΠΟΥ*

*καὶ κτίτορος τῆς Ἱερᾶς Μονῆς.*

## ΑΚΟΛΟΥΘΙΑ

ΕΠΙ ΤΗι ΜΝΗΜΗι ΑΥΤΟΥ ΤΗΝ 16 ΑΥΓΟΥΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΚΔΙΔΕΤΑΙ ΔΑΠΑΝΑΙΣ ΤΗΣ Ι. ΜΟΝΗΣ
ΕΝ ΑΘΗΝΑΙΣ, ΤΥΠΟΙΣ Ι. Β. ΒΑΡΤΣΟΥ
ΟΔΟΣ ΠΡΑΞΙΤΕΛΟΥΣ, 21
1927

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

***Τοῦ ἐν ὁσίοις Πατρὸς ἡμῶν Τιμοθέου Ἀρχιεπισκόπου Εὐρίπου ἐπὶ τῇ μνήμῃ αὐτοῦ τὴν 16 Αὐγούστου***

---

Ἐν τῷ ΕΣΠΕΡΙΝῼ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν πρῶτον τοῦ Ἁγίου Μανδηλίου γ΄ καὶ

Τοῦ Ἁγίου Ἦχος Δ΄. Ὁ ἐξ ὕψους κληθεὶς

Ὡς ποταμὸς τοῦ Θεοῦ πεπληρωμένος, ναμάτων τοῦ πνεύματος, ὤφθης Τιμόθεε, καὶ πλημμυρῶν θεῖα δόγματα, καὶ καταρδεύων, τῆς Ἐκκλησίας ἅπαν τὸ πλήρωμα, βυθίζων τὸ στίφος δέ, αἱρετιζόντων σοφέ, ἐν τῷ πελάγει τῶν λόγων σου, τῶν θεοπνεύστων, καὶ ἐν τῷ βάθει τῶν νοημάτων σου, διὸ βοῶμεν Παμμακάριστε, τῶν ἀΰλων ἀγγέλων συνόμιλε, Ἱεράρχα, δυσώπει, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοφεγγέσι στιλπνότησι τρισμάκαρ, Τιμόθεε πάνσοφε τῶν θείων ἔργων σου, καταφωτίζων περίχωρον, Εὐρίπου πάσης, διασκεδάζεις ἀχλὺν τῶν θλίψεων, καὶ χάος βαθύτατον τῶν καρδιῶν ἡμῶν, ὅθεν Μονῆς σου ἑδραίωμα, νῦν τῆς Πεντέλης, τῆς κεκτημένης τὴν θείαν κάραν σου, ὑπάρχεις μάκαρ τῆς ἐκτελούσης σου, τὴν ἑορτήν σου τὴν θείαν καὶ εὔσημον, ἥν περ φρούρει εὐχαῖς σου, εὐπροσδέκτοις ἀστασιαστον.

Τὴν τῆς Πεντέλης Μονὴν καταφαιδρύνεις, ἀκτῖσι τῆς

www.tezaurliturgic.ro



κάρας σου Μάκαρ Τιμόθεε, ἐν θαυμασίοις ἑκάστοτε, καὶ ἰαμάτων, τοῖς προσιοῦσι ταύτῃ ἐκ πίστεως, ὅλος γὰρ οὐράνιος ἐν γῇ ἐτέλεσας, καὶ ἀρετῶν διὰ πράξεων, ἐκτελουμένων, εὗρες πορείαν τὴν ὑψηβάμονα, ὅθεν βραβεύεις τοῖς καλοῦσί σε, τὰς αἰτήσεις ἀεὶ καὶ τὴν ἴασιν, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ἀνευφημούντων σε.

Δόξα. Ἦχος α΄.

Ἡ πνευματικὴ τοῦ παρακλήτου Μονή, Τιμόθεος ὁ θεόφρων Πατὴρ ἡμῶν, πάντας τοὺς πνευματικοὺς δαιτυμόνας, τῆς πνευματικῆς αὐτοῦ πανδαισίας, συγκαλεῖται ἐν ὑψηλῷ κηρύγματι λέγων, δεῦτε τρυφήσατε κάρας τῆς ἐμῆς τὰς ἰάσεις, ἐξ ἧς χορηγεῖται πᾶσιν ἀφθόνως, οὐρανόθεν ἡ χάρις, καὶ διττὸν τὸ πλούσιον ἔλεος, παρὰ τοῦ πάντων Δεσπότου, καὶ ἐλεήμονος Θεοῦ, παρρησίαν ὡς ἔχων πρὸς αὐτὸν Εὐβοίας ποιμὴν θεοπρόβλητε, ἐκτενῶς ἱκέτευε, ἐλεηθῆναι τὴν σὴν ποίμνην, τὴν εὐφημοῦσαν ἐκ πόθου, τὴν πανίερον μνήμην σου.

Καὶ νῦν τῆς ἑορτῆς.
Εἴσοδος. Τὸ φῶς ἱλαρόν. Προκείμενον,
καὶ τὰ ἀναγνώσματα Νοεμβρίου.

Εἰς τὴν ΛΙΤΗΝ Ἰδιόμελα. Ἦχος α΄.

Δεῦτε τῶν εὐσεβῶν ἡ ὁμήγυρις, Εὐρίπου πάσης τὸ ἄθροισμα, καὶ μοναστῶν ὁ χορὸς Πεντέλης Μονῆς ὁ θεόλεκτος, Ἱερὰν μνήμην Τιμοθέου τοῦ μάκαρος ἑορτάσωμεν. Οὗτος γὰρ μεθ' ἡμῶν τυγχάνει, διὰ τῆς παντίμου κάρας αὐτοῦ θαυμάτων τὰ παράδοξα ἐκτελεῖ, ἀναλάμπων τηλαυγῶς ἡλίου φαεινότερον, ἐν οὐρανοῖς δὲ περιπολῶν τῷ πνεύματι, σὺν Ἱεράρχαις ἀγάλλεται. Πρὸς αὐτὸν οὖν βοήσωμεν, ὄμβρισον δαψιλῶς ψυχικὴν εὐρωστίαν, καὶ κινδύνων ἀφάρπασον, καὶ πάσης περιστάσεως, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὸ ἱερόν σου μνημόσυνον.



Ἦχος β΄.

Ἡ τῆς πανσέπτου κάρας θήκη, ἁγιώτατε Πάτερ Τιμόθεε, τῶν πιστῶν προσιόντων, τὰς αἰσθήσεις εὐωδιάζουσα, ἁγιάζει ψυχὰς ὁμοῦ καὶ τὰ σώματα, ἣν ἀσπαζόμενοι πόθῳ ζέοντι, θεραπείαν νόσων παντοίων λαμβάνομεν, αἰτούμενοι διὰ σοῦ τρισμάκαρ, εὑρεῖν ἡμᾶς παρὰ Θεοῦ, ἱλασμὸν ἁμαρτιῶν, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Τοῖς ἀσκητικοῖς ἀγῶσιν ἑαυτὸν κατακοσμήσας, Τιμόθεε τρισόλβιε, Ἱεράρχης ἐχρίσθης ὡς ἄξιος, καὶ ποιμάνας θεαρέστως Εὐρίπου τὸ ποίμνιον τῶν θαυμάτων τὴν χάριν ἀπείληφας. Ὅθεν ἡ Μονή σου κομπάζει, τὴν ἐρίτιμον κατέχουσα κάραν σου, διὸ καὶ χαρμοσύνως ἐπιτελεῖ τὴν σεπτήν σου πανήγυριν, πνευματικοῖς ᾄσμασι τερπνοῖς εὐφημοῦσά σε, δρεπομένη ταῖς πρεσβείαις σου, παρὰ Χριστοῦ ἱλιασμόν, καὶ καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τίσιν ἔπεσι τὸν ὕμνον σοι προσοίσωμεν, Ἱεραρχῶν τὸ κλέος Τιμόθεε ἀοίδιμε; πῶς προσείπωμέν σε, τὴν σεπτὴν θαυματόβρυτον σου Κάραν ἀπαζόμενοι; ἀλλ' ἐπὶ σοὶ τῷ μιμητῇ τοῦ Χριστοῦ, τὸ δυνατὸν καὶ φίλον πέφηκεν, ἀνάσχοιο οὖν πάτερ παρ' ἡμῶν ἀκούων. Χαίροις Εὐβοίας φωστήρ, Καλάμου τὸ βλάστημα, εὐσεβείας ὁ πρόμαχος, τῶν θαυμάτων ὁ ἀείρροος ποταμός, τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, πρέσβευε οὖν ὑπὲρ ἡμῶν, τῶν πιστῶς σοι τελούντων τὸ μνημόσυνον.

Καὶ νῦν τῆς ἑορτῆς.

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ · ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro



Εἰς τὸν στῖχον Προσόμοια τοῦ Ἁγίου ἢ τῆς Θεοτόκου.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε δαδουχίαις ἱεραῖς, πάντες μετὰ ᾠδῶν καὶ κυμβάλων τῆς τοῦ Κυρίου Μητρός, κοίμησιν τιμήσωμεν τὴν πολυΰμνητον, ἀπὸ γῆς μεθίσταται, σκηναῖς ταῖς ἀΰλοις, δόξῃ κατοικίζεται καὶ συναυλίζεται, κάλλος καθορῶσα τὸ θεῖον, χάριτας πηγάζουσα πᾶσι, τοῖς πιστῶς γεραίρουσι τὴν μνήμην αὐτῆς.

Στῖχος: Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου.

Στίφος Ἀποστόλων ἱερῶν, θείων νεφελῶν δροσοβόλων, ἐκ τῶν περάτων τῆς γῆς, Δέσποινα συνήχθησαν εἰς τὸ κηδεῦσαί σου, τὸ σεπτὸν θεοδόχον τε, ἀκύρατον σῶμα. Ὅθεν καὶ στρατεύματα τὰ ὑπερκόσμια, κλίνην ἀοράτως κυκλοῦντα, ὕμνοις ἐμελῴδουν σοι χαῖρε, νέα Κιβωτὲ τοῦ ἁγιάσματος.

Στῖχος: Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν.

Πάντα ἀκατάληπτα τὰ σά, πάντα ἀνερμήνευτα ὄντως, φρικτὰ μυστήρια, σὺ γὰρ ἐχρημάτισας, Θεοῦ λοχεύτρια, οὐρανοὺς ἐκαλλώπισας, ἐλάμπρυνας κόσμον, πάντα εὐωδίασας σεπτῇ κοιμήσει σου. Ὅθεν μακαρίζουσι γλῶσσαι, πᾶσαι γενεαὶ τῶν ἀνθρώπων, καὶ ἡμεῖς τιμῶμέν σου τὴν κοίμησιν.

Δόξα. Ἦχος. δ'.

Ἐκ τῆς λαμπρότητος τῶν κατορθωμάτων σου, τὴν χάριν τῶν θαυμάτων σου ἀπείληφας, παρὰ Θεοῦ Ἱεράρχα Τιμόθεε. Τοῖς γὰρ πόνοις τῆς ἐγκρατείας ἀνακαθάρας σεαυτόν, δοχεῖον τοῦ Πνεύματος ἀπετέλεσας, διὸ ἡ τιμία σου κάρα πνευματικὴν εὐωδίαν ἐκπέμπουσα, τὰς ἰάσεις τοῖς νοσοῦσι παρέχει. Καὶ νῦν ἐν οὐρανοῖς μετ' ἀγγέλων συναγαλλόμενος, ἱκέτευε ὑπὲρ ἡμῶν παναοίδιμε νίκην κατὰ παθῶν δωρήσασθαι



ἡμῖν, τοῖς τελοῦσι τὴν σεβασμίαν μνήμην σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν τῆς ἑορτῆς.

ΑΠΟΛΥΤΙΚΙΟΝ τοῦ Ἁγίου Μανδηλίου καὶ Τοῦ Ἁγίου, Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τὸν σοφὸν Ἱεράρχην καὶ Εὐρίπου τὸν Πρόεδρον, τοῦ Καλάμου τὸν γόνον Μονῆς Πεντέλης τὸν ἔφορον, Τιμόθεον τιμήσωμεν πιστοί, ἐν ὕμνοις καὶ ᾠδαῖς χρεωστικῶς, ὡς σεπτὸν σημαιοφόρον, καὶ πρὸς αὐτὸν βοήσωμεν ὁμοφώνως. Δόξα τῷ σὲ δοξάσαντι, Χριστῷ, δόξα, τῷ θαυμαστώσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ τῆς ἑορτῆς. Ἐν τῇ γεννήσει τὴν παρθενίαν.

Εἰς τὸν ΟΡΘΡΟΝ.

Καθίσματα. Μετὰ τὴν α' στιχολογίαν.

Τοῦ Ἁγίου Ἦχος α'. Τὸν Τάφον σου Σωτήρ.

Εἰς ὕψος ἀρετῆς, Ἱεράρχα ἀνῆλθες, Εὐρίπου δὲ ποιμήν, ὡς σοφὸς ἀνεδείχθης. Ὑπάρχων ἁγιώτατος, καὶ οὐράνιος ἄνθρωπος. Ὅθεν σήμερον, τὴν σεβασμίαν σου μνήμην, ὦ Τιμόθεε, σεμνοπρεπῶς ἐκτελοῦμεν, σεπτῶς μακαρίζοντες. (δίς).

Καὶ τῆς ἑορτῆς. Ὁ πάντιμος χορός.

Μετὰ τὴν β' Στιχολογίαν. Ἦχος δ' Ταχὺ προκατάλαβε.

Τὴν εὔσημον μνήμην σου, ὡς Ἱεράρχην Χριστοῦ, γεραίρομεν σήμερον οἱ τῆς Πεντέλης Μονῆς, αἰτοῦντες πρεσβείαις σου, λύσιν εὑρεῖν πταισμάτων, καὶ παθῶν καὶ κινδύνων, πάντων τε τῶν ἐν βίῳ, δυσχερῶν πολυτρόπων, καὶ ὡς μυστηπόλος ἰσχύεις τοῦ σώζειν ἡμᾶς. (Δίς).

Καὶ τῆς ἑορτῆς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Μετὰ τὸν ΠΟΛΥΕΛΑΙΟΝ Κάθισμα
Ἦχος γ΄ τὴν ὡραιότητα.

Τὴν ἀεισέβαστον, μνήμην τιμήσωμεν, ᾠδαῖς καὶ ἄσμασι, ἐνθέοις σήμερον τοῦ Τιμοθέου τοῦ σοφοῦ, βοῶντος αὐτῷ ἐκ πόθου Πάτερ ἁγιώτατε, τῆς Εὐρίπου ὁ πρόεδρος, νῦν ὡς παριστάμενος, τῷ τῶν ὅλων δεσπόζοντι, δυσώπει δωρηθῆναι τοῖς πόθῳ, σὲ εὐφημοῦσι τὸ μέγα ἔλεος. (Δίς).

Οἱ Ἀναβαθμοί. Προκείμενον.
Ἦχος δ΄. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.
Εὐαγγέλιον κατὰ Ἰωάννην, εἶπεν ὁ Κύριος ἐγὼ εἰμὶ ἡ θύρα

Δόξα. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου
Ὁ Ν΄ Ψαλμός. Ἰδιόμελον. Ἦχος Β΄

Τίς ἐπαξίως τῶν ἀρετῶν σου τὰ τρόπαια διηγήσεται; ἢ ποῖον στόμα, τῶν θαυμάτων σου τὰ πλήθη ἀποφθέγξοιτο; ἀλλὰ μὴ παύσῃ δυσωπῶν, εὐαρεστήσας Χριστῷ, Ἱεράρχα Τιμόθεε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Οἱ Κανόνες τῆς ἑορτῆς, τοῦ ἁγίου Μανδηλίου
καὶ ὁ παρὼν τοῦ Ἁγίου.
Ὠδὴ Α΄. Ἦχος α΄. Ἀνοίξω τὸ στόμα μου.

Ἀνοίξας τὸ στόμα σου, τῆς διανοίας Τιμόθεε, τὴν χάριν τοῦ Πνεύματος, πλουσίως εἵλκυσας, οὗ καὶ δίδου μοι, τὴν χάριν ταῖς εὐχαῖς σου, ὅπως τὴν ἁγίαν κάραν ὑμνήσω νῦν.

Τὸν ὕμνον προσάγει μάκαρ θεόφρον Τιμόθεε, ἡ ποίμνη σου σήμερον, ἀγαλλομένη φαιδρῶς, ἣν περίσωζε, χάριτι τῆς σῆς κάρας, ἣν Χριστὸς ἐδόξασε θαυμάτων πλήθεσι.



Γεώδους φρονήματος, καὶ ὑλικῆς προσπαθείας με, ἐκσπάσας Τιμόθεε, Κυρίῳ σύναψαι, ταῖς πρεσβείαις σου, ὡς θεῖος Ἱεράρχης, ὅπως εὐφημήσω σου Κάραν τὴν πάντιμον.

Θεοτοκίον.

Φωτὸς ἀνεσπέρου σε, πηγὴν εἰδότες πανάμωμε, τὸ σκότος διάλυσον καθικετεύω σε, ταῖς ἀκτῖσί σου, ψυχῆς μου καὶ καρδίας, καὶ βλέπειν ἀξίωσον, ἐκεῖνο Δέσποινα.

Καταβασία. Πεποικιλμένη τῇ θείᾳ δόξῃ.
Ὠδὴ Γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ἡ πάντιμος Κάρα σου παμμάκαρ, Τιμόθεε βρύει τοῖς πιστοῖς, τὰ ῥεῖθρα τῶν ἰάσεων, τῆς χάριτος τεκμήριον, ὑπάρχει δι' ἣν γέγονας, σεπτὸν δοχεῖον τοῦ πνεύματος.

Ποικίλων ἡμᾶς πειρατηρίων, κινδύνων καὶ θλίψεων δεινῶν, τῇ κάρᾳ σου προστρέχοντας Τιμόθεε ἀοίδιμε, ταῖς σαῖς θερμαῖς δεήσεσιν, ὡς συμπαθὴς ἐλευθέρωσον.

Ἐπέγνως καλῶς Χριστοῦ τὸ πρᾶον, καὶ γέγονας τούτου μαθητής, καὶ ταπεινὸς Τιμόθεε, διὸ καὶ χάριν εἴληφας, νόσους διώκειν πάντοτε, τῶν προσιόντων τῇ κάρᾳ σου.

Θεοτοκίον.

Ἰδεῖν τοῦ φωτός σου τὰς ἀκτῖνας, ἀξίωσον Δέσποινα ἁγνή, τοὺς πόθῳ σοι προσπίπτοντας, δι' ἐγκρατείας λύσασα, συντόνου τε δεήσεως, σκότος παθῶν τὸ βαθύτατον.

Καταβασία. Ἡ δημιουργικὴ καὶ συνεκτική.

Κάθισμα. Ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.

Ἡ πάνσεπτος ἡμῖν, τῆς τιμίας σου μνήμης, ἐπέστη ἑορτή, ἣν τιμῶμεν ἐκ πόθου, τὴν κάραν γεραίροντες, τὴν ἁγίαν

ΑΓΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Τιμόθεε, τὴν πηγάζουσαν, θαυμάτων ἄπειρα πλήθη, τοῖς προστρέχουσι, μετ᾽ εὐλαβείας ἐν ταύτῃ, Θεὸν μεγαλύνοντες.

Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.

Ὠδὴ Δ΄. Τὴν ἀνεξιχνίαστον.

Σοῦ τὴν πανευφρόσυνον νῦν ἑορτὴν καὶ φαιδρὰν πανήγυριν πάνσοφε, ἐπιτελοῦσα, ἡ Μονή σου ὡς φρουρόν, σὲ προσκαλεῖται κράζουσα, σκέπη μου γενοῦ, ὦ Τιμόθεε.

Αἴγλη θείας χάριτος σοῦ ἡ σεπτή, Κάρα λαμπρυνθεῖσα Τιμόθεε, ὁ στεφοδότης θαυματόβρυτον ἡμῖν, ὡς θησαυρὸν παρέθετο, θείας εὐωδίας ἀνάπλεων.

Πίστει τε καὶ πόθῳ σου ἅπαντες νῦν, μάκαρ Ἱεράρχα Τιμόθεε, δεόμεθά σου, πρόφθασον ῥῦσαι, τὴν ποίμνην τῶν δεινῶν, σὲ γὰρ προστάτην κέκτηται, πρὸς τὸν πανοικτίρμονα Κύριον.

Θεοτοκίον.

Σὲ τὴν θεομήτορα ἀληθῆ, ὄντως Θεοτόκον ἐκήρυξεν, ὁ Ἱεράρχης, τῆς Εὐρίπου ποιμήν, Τιμόθεος πανύμνητε, καὶ ἐν οὐρανοῖς νῦν ἀγάλλεται.

Ὠδὴ Ε΄. Ἐξέστη τὰ σύμπαντα.

Η κάρα σου πάνσοφε, πηγὴ θαυμάτων δείκνυται, πᾶσι τοῖς προστρέχουσιν ἐν πίστει, καὶ προσκαλοῦσι σοῦ τὴν ἀντίληψιν, Τιμόθεε μάκαρ ἱερέ, νόσους ἐκδιώκεις, καὶ ἐλαύνεις τοὺς δαίμονας.

Κοσμήσας ὡς ἔπρεπε, τὸ λογικόν σου ποίμνιον, λόγῳ τε καὶ πράξει θεορρῆμον, κόσμος ἐδείχθης Εὐρίπου ὄντως λαμπρός, αἴσχους τῶν αἱρέσεων δεινοῦ, βίου τε φαυλότητος, ἀποστήσας, ἐν πνεύματι.



Τιμόθεε πάνσοφε, ἡμῶν τῶν δεομένων σου, δέξαι τὰς αἰτήσεις ἐν ἡμέρα τῶν πειρασμῶν τε καὶ περιστάσεων, θλίψεων παντοίων τε δεινῶν, καὶ θερμῶς προσάγαγε, τῷ τῶν ὅλων δεσπόζοντι.

Θεοτοκίον.

Οὐ σθένει τὴν δόξαν σου, γλῶσσα βροτῶν πανύμνητε, οὐ νοῦς προσειπεῖν ὄντως ἰσχύει, φῶς γὰρ οἰκοῦντα, θεὸν ἀπρόσιτον, ἔσχες ἐν γαστρὶ ὑπερφυῶς, φῶς ἀπεργαζόμενον, τῇ ἑνώσει τὸν ἄνθρωπον.

Ὠδὴ ϛ΄. Τὴν θείαν ταύτην.

Πόθῳ τῇ κάρᾳ προσέλθωμεν, καὶ χείλεσιν ἁγνοῖς ἀσπασώμεθα, τῇ μνήμῃ σήμερον τοῦ Τιμοθέου αἰτούμενοι, ψυχῶν τε καὶ σωμάτων τὴν ἴασιν.

Ὡς ἔχων μάκαρ Τιμόθεε, μεγίστην παρρησίαν πρὸς Κύριον, αὐτὸν ἱκέτευε τοῦ λυτρωθῆναι κολάσεως, τοὺς πόθῳ ἐκτελοῦντας τὴν θείαν μνήμην σου.

Πεποικιλμένος τῇ χάριτι, ποικίλων συμφορῶν ἐλευθέρωσον, μάκαρ Τιμόθεε, τὴν ποίμνην ταύτην ἣν κέκτηται τὴν σὴν ἁγίαν κάραν ὄλβον ἀσύλητον.

Θεοτοκίον.

Θεὸν ἁγνὴ χωρήσασα, γεννήσει παραδόξῳ τοῦ κτίσαντος, τὴν φύσιν εἵλκυσας, πρὸς φῶς ἐκ σκότους ἀνέσπερον, οὗ τῆς ἀκτῖνος πάντας ἡμᾶς ἀξίωσον.

Καταβασία. Ἄλιον ποντογενές.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Σκέπε φρούρει φύλαττε, ἀπὸ παντοίων κινδύνων, τὴν Μο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



ψήν σου Ἅγιε, σαῖς εὐπροσδέκτοις πρεσβείαις, ἄσυλον γὰρ θησαυρὸν νῦν πλουτισαμένη, Κάραν σου τὴν θαυματόβρυτον ἐγκαυχᾶται, διὰ τοῦτο καὶ βοᾷ σοι, χαίροις προστάτα ἡμῶν Τιμόθεε.

Ὁ Οἶκος.

Ἐπαρόν σου τὰς χεῖρας, καὶ φωνὴν Ἱεράρχα, συνήθως Τιμόθεε πάτερ, πρὸς τὸν κτίστην σου καὶ Θεὸν ἡμῶν, καὶ πρέσβευε διηνεκῶς, ὑπὲρ τῆς ποίμνης τῆς σῆς, ὡς ποιμὴν ὢν ἀληθὴς καὶ καλὸς καὶ θεῖος μαθητὴς τοῦ ἀρχιποίμενος Χριστοῦ, καὶ ἐκ παντοίων δεινῶν ἡμᾶς λύτρωσαι, σὺ γὰρ δεήσεις αὐτῷ προσφέρων πάντοτε, ὑπὲρ πάντων καθικετεύεις τῶν τιμώντων τὴν σεβασμίαν κάραν σου. Ὅθεν σοι ἐκβοῶμεν χαίροις προστάτα ἡμῶν Τιμόθεε.

Τῇ 16 τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Τιμοθέου Ἀρχιεπισκόπου τοῦ Εὐρίπου, τοῦ θαυματουργοῦ, οὗ ἡ ἱερὰ καὶ πάντιμος κάρα τεθησαυρισμένη σώζεται ἐν τῇ ἱερᾷ Μονῇ τῆς Πεντέλης, θαύματα βρύουσα ἀεννάως, τοῖς μετὰ πόθου καὶ πίστεως αὐτὴν προσκαλουμένοις καὶ κατασπαζομένοις.

Στίχοι. Ὕμνος νεάζων, Τιμοθέῳ τῷ νέῳ,
Τῷ ἀρχιθύτῃ, Εὐρίπου ἁρμοστέως.
Βῆ δ' εἰς Ὀλύμπιον δῶμα, Τιμόθεος
δεκάτῃ ἕκτῃ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις.

Ὅρα τὸ ὑπόμνημα αὐτοῦ.

Ὠδὴ Ζ'. Οὐκ ἐλάτρευσαν.

Ξένα πέφυκε, καὶ πόρρω γέμῃ φύσεως, μάκαρ τὰ θαύματα,



ἅπερ Χριστὸς ὁ Θεός, ἐν τῇ θείᾳ Κάρᾳ σου τελεῖ ἑκάστοτε, τοῖς προστρέχουσι, σορῷ αὐτῆς Τιμόθεε, καὶ πιστῶς προσπτυσσομένοις.

Σωτηρίας αἰωνίου τὴν ἀπόλαυσιν, δεικνύων πάνσοφε, φωτολαμπέσιν αὐγαῖς, ἐνθέων σου πράξεων, καὶ ἰσαγγέλου ζωῆς, χαίρων ἔψαλλες, ὁ τῶν πατέρων ἡμῶν Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Τὴν σωτήριον βοήθειαν Τιμόθεε, τὴν σὴν αἰτούμεθα, καταπεμφθῆναι ἡμῖν ἐν ὥρᾳ τῶν θλίψεων, ἡνίκα ταύτης πιστῶς, σοῦ δεόμεθα, Κάραν σὴν ἀσπαζόμενοι, τὴν βραβεύουσαν ἰάσεις.

Θεοτοκίον.

Εὐσεβῶς, τοὺς ἀνυμνοῦντας Θεοτόκον σε, Κυρία Δέσποινα, τῆς ἁμαρτίας δεινοῦ, ταχέως ἀπάλλαξον, σκότους δεόμεθα. τῆς μερίδος δέ, καὶ τῆς χαρᾶς ἀξίωσον, τῶν ἐν σοὶ πεφωτωμένων.

Ὠδὴ Η'. Παῖδες εὐαγεῖς.

Σκεῦος ἐκλογῆς σεπτὸν ἐδείχθης, τὴν ἄνω φαιδρῶς λαμπρότητα δεξάμενος, καὶ πρὸς τὰ σκηνώματα, μάκαρ ἀνελήλυθας, περιχαρῶς Τιμόθεε καταστραπτόμενος, τῇ χάριτι τῆς θείας Τριάδος ὕμνοις, ἣν δοξάζεις εἰς πάντας τοὺς αἰῶνας.

Κηρύττομεν πάντες χαρμοσύνως, τῆς κάρας σου Μάκαρ τὰ θαυμάσια, πάντας θεραπεύει γάρ, δαίμονας ἐλαύνει τε, τοὺς μετὰ πόθου ἅγιε, ἀσπαζομένους αὐτὴν καὶ αἰτοῦντας, ταύτης τὴν ἀντίληψιν, Ἱεράρχα Τιμόθεε πάνσοφε.

Τοὺς πόθῳ τὴν μνήμην σου τελοῦντας, πίστει εἰλικρινῶς τὴν θείαν κάραν σου, κατασπαζομένους νῦν, φύλαττε Τιμό-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



θεε, ἐκ πάσης κακώσεως, καὶ ἐκ παντοίων δεινῶν καὶ νόσων χαλεπῶν καὶ κινδύνων, ταῖς πρὸς τὸν Δεσπότην, εὐχαῖς σου εὐπροσδέκτοις.

Θεοτοκίον.

Ὁ λόγοις καὶ πράγμασι κηρύξας, ἁγνήν σε μόνην κυρίως Θεομήτορα, Θεὸν μετὰ σώματος, ἀρρήτως γεννήσασαν, τὴν τῶν βροτῶν θεώσαντα, φύσιν ἐν μήτρᾳ σου Τιμόθεος ὑμνεῖ σε Παρθένε, οὗ τὴν θείαν κάραν, σεπτῶς καταφιλοῦμεν.

Καταβασία. Φλόγα δροσίζουσαν ὁσίους.

Ὠδὴ Θ΄. Ἅπας γηγενής.

Πάντας τοὺς τὴν σήν, τελοῦντας Τιμόθεε, μνήμην τὴν εὔσημον, λύτρωσαι πρεσβείαις σου, κινδύνων νόσων πάσης κακώσεως, ὡς ρύστης τῶν ἐν θλίψεσι λιτανευόντων σε, καὶ τὴν κάραν, πόθῳ προσκυνούντων σου, ἵνα πάντες τιμῶμεν τὴν μνήμην σου.

Ἆρον πρὸς τὸν Θεόν, παμμάκαρ Τιμόθεε, χεῖρας ἱκέτιδας, ὑπὲρ τῶν τελούντων σου, τὴν θείαν μνήμην καὶ εὐφημούντων σου τοὺς πόνους καὶ καμάτους καὶ μετὰ πίστεως, προσκυνούντων, τὴν ἁγίαν κάραν σου, ἣν ἐδόξασε Κύριος θαύμασιν.

Δέχου παρ' ἡμῶν, τὸ μικρὸν ἐφύμνιον Πάτερ Τιμόθεε, καὶ εἰρήνην αἴτησαι, καὶ σωτηρίαν ταῖς σαῖς δεήσεσι, πρὸς τὸν Θεὸν τοῦ σύμπαντος ἡμῖν τοῖς πόθῳ σου τελοῦσι τὴν σεβάσμιον μνήμην, καὶ σεπτήν σου Κάραν, πιστῶς προσπτυσσομένοις.

Θεοτοκίον.

Τὸ πᾶν, παρθένε τὸν φέροντα, Θεὸν ἐκύησας, ἄνθρωπον γενόμενον, δι' εὐσπλαχνίαν θεοχαρίτωτε, ὃν ἐκτενῶς ἱκέτευε φωταγωγῆσαι ἡμῶν τὰς καρδίας, τῶν μακαριζόντων σε, καὶ τιμώντων τὴν θείαν εἰκόνα Αὐτοῦ.

Καταβασία. Αἱ γενεαὶ πᾶσαι.

Ἐξαποστειλάριον. Ἐν πνεύματι τῷ ἱερῷ.

Ἐν ἀρεταῖς διέπρεψας, καὶ καμάτοις παμμάκαρ, σημαιοφόρος γέγονας, καὶ λαμπρὸς Ἱεράρχης, Τιμόθεε τῆς Εὐρίπου, νῦν δὲ πρεσβεύεις θεόφρον, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν ἐκ πόθου τὴν σεπτήν, θείαν σου μνήμην τελούντων.

Καὶ τῆς ἑορτῆς. Ἀπόστολοι ἐκ περάτων.

Εἰς τοὺς ΑΙΝΟΥΣ τὸ Πᾶσα πνοή.
ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τοῦ ἁγίου
προσόμοια β΄ καὶ β΄ τοῦ ἁγίου Μανδηλίου.

Τοῦ ἁγίου Μανδηλίου Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔδωκας τοῖς δούλοις σου, τῆς σῆς μορφῆς τὸ ἐκτύπωμα, φυλακτήριον ἄσυλον, κράτος τε καὶ στήριγμα, καὶ κινδύνων λύσιν, τὰς ἐπαναστάσεις τῶν δυσμενῶν καὶ προσβολὰς, ἀποδιώκειν καὶ εὐθυμίας χαράν, παρέχειν τῖς δοξάζουσιν, αὐτοῦ τὴν χάριν τὴν ἔνθεον Ἰησοῦ παντοδύναμε, ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἐδέσσης τοπάρχῃ πρίν, ἥνπερ ἀπέστειλας Κύριε, σοῦ μορφὴν ἀχειρότευκτον, θεῖον ἀπεικόνισμα, σεπτὸν ἐκμαγεῖον, σήμερον ὁρῶντες, παρατιθέμενον ἡμῖν, κατασπαζόμεθα ἀγαλλόμενοι, καὶ ρῶσιν κομιζόμεθα, ψυχῆς ὁμοῦ τε καὶ σώματος, δι' αὐτοῦ ἀναγόμενοι, πρὸς σὸν πόθον καὶ ἔρωτα.

Τοῦ Ἁγίου ὅμοια.

Ἐπίγειος ἄγγελος, καὶ ἐπουράνιος ἄνθρωπος, ἐχρημάτισας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

πάνσοφε, ποιμὴν θεοπρόβλητος, ποίμνης τῆς Εὐρίπου, πέλαγος θαυμάτων, ὅθεν προχέει τοῖς πιστοῖς, ἡ θεία κάρα σου ἱερώτατε, Τιμόθεε πανθαύμαστε, νόσους παντοίας ἐλαύνουσα, καὶ ἰάσεις βραβεύουσα, τῶν πιστῶς εὐφημούντων σε.

**Β**ίον ἀκηλίδωτον, ὑπομονὴν καὶ πραότητα, καὶ ἀγάπην ἀνόθευτον κτησάμενος πάνσοφε, Τιμόθεε πάτερ, ὡς ἱεράρχης ἀληθής, θαυμάτων χάριν πλουσίως εἴληφας, ἣν νέμεις τοῖς τιμῶσί σου τὴν ἱερὰν κάραν ἅγιε, καὶ τελοῦσι τὴν μνήμην σου, τὴν σεπτὴν καὶ χαρμόσυνον.

Δόξα. Ἦχος πλ. β΄.

**Ο**ὐρανίου πολιτείας, φωστὴρ διαυγέστατος, ἔλαμψας τῷ κόσμῳ τῷ κάλει τοῦ πνεύματος, φαιδρῶς καθωραϊσμένος, καὶ τῇ αἴγλῃ τὸν νοῦν καταστραπτόμενος, διὸ προστάτην σε πλουτοῦντες Ἱεράρχα Τιμόθεε, καὶ τὴν σεβάσμιον κάραν σου θησαυρὸν πολυτίμητον κεκτήμεθα, ἰάματα τοῖς νοσοῦσι παρέχουσαν, ἣν πιστῶς ἀσπαζόμενοι, δεόμεθά σου ἐκτενῶς, πρέσβευε ἁγιώτατε Πάτερ, ὑπὲρ ἡμῶν τῶν ἐν πόθῳ τελούντων τὴν ἱερὰν καὶ σεβάσμιον μνήμην σου, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν οἱ Μακαρισμοί.

τοῦ ἁγ. Μανδηλίου ᾠδὴ γ΄ καὶ τοῦ ἁγίου ᾠδὴ ϛ΄.

Ἀπόστολον τοῦ ἁγίου Μανδηλίου

καὶ Εὐαγγέλιον τοῦ ἁγίου, ὅ ζήτει τοῦ Χρυσοστόμου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

ΑΞΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ